www.e-rara.ch

# Arriani Nicomedensis De Epicteti philosophi, praeceptoris sui, dissertationibus Libri IIII ...

**Arrianus, Flavius**

**Basileae, [1554]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-122198

Epiktētou Egcheiridion

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΕΠΙΚΤΗΤΟΥ
## ΕΓΧΕΙΡΙΔΙΟΝ.

κεφ. α.

ΤΩΝ ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μὲν, ὑπόληψις, ὁρμὴ, ὄρεξις, ἔκκλισις, καὶ ἑνὶ λόγῳ, ὅσα ἡμέτερα ἔργα. οὐκ ἐφ' ἡμῖν δὲ, τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαὶ, καὶ ἑνὶ λόγῳ, ὅσα οὐχ ἡμέτερα ἔργα. Καὶ τὰ μὲν ἐφ' ἡμῖν ἐστι φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαρεμπόδιστα. τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια. Μέμνησο οὖν, ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους. ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον ὥσπερ ἐστὶν ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινὶ, ἄκων πράξεις οὐδὲ ἕν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις· οὐδὲ γὰρ βλαβερόν τι πείσῃ. Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι οὐ δεῖ οὐδὲ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δὲ ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων εὐδαιμονία καὶ ἐλευθερία περιγίνεται. Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι φαντασία * εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον. ἐστὶ

ἔπειτα ἐξέταζε τοῖς κανόσι τούτοις, οἷς ἔχεις. πρώτῳ δὲ τούτῳ, καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν, ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω τὸ, διότι οὐδὲν πρὸς σέ.

β.

Μέμνησο ὅτι ὀρέξεως μὲν ἐπαγγελία, τὸ ἐπιτυχεῖν οὗ ὀρέγῃ· ἐκκλίσεως δὲ ἐπαγγελία, τὸ μὴ ἐμπεσεῖν ἐκείνῳ, ὃ ἐκκλίνεται. καὶ ὁ μὲν ὀρέξει ἀποτυγχάνων, ἀτυχής· ὁ δὲ ἐκκλίσει περιπίπτων, δυστυχής. ἂν μὲν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπί σοι, οὐδενὶ ὧν ἐκκλίνεις περιπεσεῖ. νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυστυχήσεις. ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετα-

θεῖς ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν. τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. ἄν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινος, ἀτυχεῖν ἀνάγκη. τῶν ἐφ' ἡμῖν, * ὅσον ὀρέγεσθαι καλὸν ἂν, οὐδέπω σοι πάρεστι. μόνῳ δὲ τῷ ὁρμᾶν καὶ ἀφορμᾶν χρῶ, κούφως μέντοι, καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως. γ.

ὅσων

Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείας παρεχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν, ὁποῖόν ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρχόμενος. ἂν χύτραν στέργῃς, ὅτι χύτραν στέργεις· κατεαγείσης γὰρ αὐτῆς, οὐ ταραχθήσῃ. ἂν * παιδίον σαυτοῦ καταφιλῇς, ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς· ἀποθανόντος γὰρ αὐτοῦ, οὐ ταραχθήσῃ. δ.

παιδία

Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς, ὑπόμνησον σεαυτὸν, ὁποῖόν ἐστι τὸ ἔργον. ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ, τοὺς ἀπορραίνοντας, τοὺς ἐγκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας· καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου, ἐὰν ἐπιλέγῃς, ὅτι λούσασθαι θέλω· καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν τηρῆσαι. καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου. οὕτω γὰρ, ἄν τι πρὸς τὸ λούσασθαι ἐμποδὼν, πρόχειρον ἔσται, διότι * οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι. οὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα. ε.

ἀλλ' οὐ

Ταράσσει τοὺς ἀνθρώπους, οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. οἷον θάνατος οὐδὲν * δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο· ἀλλὰ τὸ δόγμα τὸ περὶ θανάτου, * ὅτι δεινόν. ὅταν οὖν ἐμποδιζόμεθα, ἢ ταρασσόμεθα, μηδέποτε ἄλλους αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τουτέστι τὰ ἑαυτῶν δόγματα. ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς. ἠργμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, τὸ μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ. ς.

δεινὸν, καὶ διότι, ὅταν ἐμποδιζώ. ἢ ταραττώμ.

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ἂν, ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν. σὺ δ' ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ. τί οὖν ἐστὶ σόν; χρῆσις φαντασιῶν. ὥσθ' ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπαρθήσῃ. τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ. ζ.

Καθάπερ ἐν πλῷ, τοῦ πλοίου καθορμισθέντος, ἂν ἐξέλθῃς ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον, καὶ κοχλίδιον ἀναλέξῃ, ἢ βολβάριον * τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι,

φάττεσθαι

μήποτε

μήτοι * γε ὁ κυβερνήτης καλέσῃ καὶ τότε πάντα ἐκεῖνα ἀφιέναι, σε
ἵνα μὴ δεδεμένος ἐκβληθῇς, ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ,
ἐὰν διδῶται ἀντὶ βολβοῦ καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον,
οὐδὲν κωλύσει. ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα πάντα, μηδὲν ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτὲ τοῦ πλοίου μακράν, μήποτε καλοῦντος ἐλλίπῃς. η.

Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται, καὶ εὖ ποιήσεις. νόσος, σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. χώλανσις, σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ. καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, * σοῦ δὲ οὔ. θ. σόρ

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων, μέμνησο ἐπιστρέφων ἐπὶ σεαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. ἐὰν καλὸν ἴδῃς, ἢ καλήν, εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν. ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν. ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. καὶ οὕτως ἐθιζόμενόν σε, οὐ συναρπάσουσιν αἱ φαντασίαι. ι.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτό, ἀλλ' ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; οὐκοῦν καὶ τοῦτο ἀπεδόθη; ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει, * διὰ τί
νος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες. Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους διαλογισμούς· ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. κρεῖσσον γὰρ λιμῷ ἀποθανεῖν ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον. κρεῖττον δὲ, τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα. ἄρξαι τοιγαροῦν ἀπὸ τῶν μακρῶν. ἐκχεῖται τὸ ἐλάδιον, κλέπτεται οἰνάριον; ἐπίλεγε, ὅτι τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία. προῖκα δὲ οὐδὲν περιγίνεται. ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύναται μὴ ὑπακοῦσαι· καὶ ὑπακούσας, μηδὲν ποιῆσαι * ὧν ὡς
θέλεις. καὶ οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐπ' ἐκείνῳ ᾖ, τό σε * μὴ ταραχ.
ταραχθῆναι. ια.

Εἰ προκόψαι θέλεις, ὑπόμεινον, ἕνεκα τῶν ἐκτὸς ἄνους δόξαι, καὶ ἠλίθιος. μηδὲν βούλου δοκεῖν ἐπίστασθαι. κἂν δόξῃς * τισὶ εἶναί τις, τινὸς εἶναι
ἀπίστει σεαυτῷ. ἴσθι γάρ, ὅτι οὐ ῥᾴδιον, καὶ τὴν προαίρεσιν τὴν σε- τισιν
αυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι, καὶ τὰ ἐκτός· ἀλλὰ τὸν ἕτερον

ἐπιμελόμενον, τοῦ ἑτέρου ἀμελῆσαι, πᾶσα ἀνάγκη. ιβ.

Ἂν θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους σου πάντοτε ζῆν, ἠλίθιος εἶ. τὰ γὰρ μὴ ἐπὶ σοὶ, * θέλεις ἐπὶ σοὶ εἶναι· καὶ τὰ ἀλλότρια, σὰ * εἶναι· οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ᾽ ἄλλο τι. ἂν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. τοῦτο οὖν ἄσκει, ὃ δύνασαι. Κύριος ἑκάστου ἐστὶν, ὁ τῶν ὑπ᾽ ἐκείνου θελομένων, ἢ μὴ θελομένων, ἔχων τὴν ἐξουσίαν, εἰς τὸ περιποιῆσαι ἢ ἀφελέσθαι. ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι, τῶν ἐπ᾽ ἄλλοις· εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη. ιγ.

εἰ θέλ. εἶναι, μωρὸς εἶ.

Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ, δεῖ σε ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατὰ σέ; ἐκτείνας τὴν χεῖρα, κοσμίως μεταλάβε. παρέρχεται; μὴ κάτεχε. οὔπω ἥκει; μὴ ἐπίβαλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε, μέχρι ἂν γένηται κατὰ σέ. οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχὰς, οὕτω πρὸς πλοῦτον, καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λαμβάνῃς, ἀλλ᾽ ὑπερείδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν, καὶ ἐλέγοντο. ιδ.

Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ, τοῖς ἐκτός· ἀλλ᾽ εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγειν ἔστω πρόχειρον, ὅτι τοῦτον θλίβει, οὐ τὸ συμβεβηκός, ἄλλον γὰρ οὐ θλίβει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων. μέχρι μέντοι λόγου, μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ· κἂν οὕτω τύχῃ, συνεπιστενάξαι. πρόσεχε μέντοι, μὴ καὶ ἔσωθεν συνεπιστενάξῃς. ιε.

Μέμνησο, ὅτι ὑποκριτὴς εἶ δράματος, οἵου ἂν θέλῃ ὁ διδάσκαλος, ἂν βραχὺ, βραχέος· ἂν μακρὸν, μακροῦ. ἂν πτωχὸν ὑποκρίνεσθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ· ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτ᾽ ἐστὶ, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ᾽ αὐτὸ, ἄλλου. ις.

Κόραξ ὅταν μὴ αἴσιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία· ἀλλ᾽ εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε, ὅτι τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ᾽ ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησιδίῳ μου, ἢ τῷ δοξαρίῳ, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί. ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται,

ται, ἐὰν ἐγὼ θέλω. ὅ, τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοί ἐστιν, ὠφε-
ληθῆναι ἀπ' αὐτοῦ. ιζ.

Ἀνίκητος εἶναι δύνασαι, ἐὰν μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ
ἔστιν ἐπί σοι νικῆσαι. ὅρα μήποτε ἰδών τινα προτιμώμενον, ἢ μεγα-
λοδυναμούμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς, ὑπὸ τῆς φαντα-
σίας συνεπενεχθείς. ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε
ὁ φθόνος, οὔτε ζηλοτυπία χώραν ἕξει. σὺ δὲ αὐτὸς οὐ στρατηγός, οὐ
πρύτανις ἢ ὕπατος εἶναι θελήσεις, ἀλλ' ἐλεύθερος. μία δὲ ὁδὸς πρὸς
* ταῦτα, καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν. ιη. τοῦτο

Μέμνησο, ὅτι οὐχ ὁ λοιδορῶν ἢ ὁ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ
περὶ τούτων, ὡς ὑβριζόντων. ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι ὅτι ἡ σή σε
ὑπόληψις * ἠρέτηκε. τοιγαροῦν ἐν πρώτοις πειρῶ, ὑπὸ τῆς φαν- ἠρέθικε
τασίας μὴ συναρπασθῆναι. ἂν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύ-
χῃς, ῥᾷον κρατήσεις σεαυτοῦ. ιθ.

Θάνατος, καὶ φυγή, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλ-
μῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος. καὶ οὐδὲν
οὐδέποτε ταπεινὸν ἐνθυμηθήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός. κ.

Φιλοσοφίας ἐπιθυμεῖς; παρασκευάζου αὐτόθεν, ὡς καταγελασθη-
σόμενος, ὡς καταμωκησομένων σου πολλῶν· ὡς ἐρούντων, ὅτι ἄφνω φι-
λόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; σὺ δὲ
ὀφρὺν μὲν μὴ σχῇς. τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ
τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν * τάξιν. μέμνησο δέ, ὅτι ἐὰν μὲν ἐμ- χώραν
μείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντες σου πρότερον, οὗτοί σε ὕστερον θαυ-
μάσουσιν. ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα. κα.

Ἐάν ποτέ σοι γένηται ἔξω στραφῆναι, πρὸς τὸ * βουληθῆναι ἀρέ- βουλεύσα-
σαι τινί, ἴσθι ὅτι ἀπώλεσας τὴν ἔνστασιν. ἀρκοῦ οὖν ἐν παντί, τὸ εἶναι σθαι
φιλόσοφος. εἰ δὲ καὶ δοκεῖν βούλει, τὸ εἶναι σαυτῷ φαίνου, καὶ ἱκα-
νὸς ἔσῃ. κβ.

Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν, ἄτιμος ἐγὼ βιώσο-
μαι, καὶ οὐδεὶς οὐδαμοῦ. εἰ γὰρ ἀτιμία ἐστὶ κακόν, οὐ δύνασαι ἐν κακῷ
εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. μή τι οὖν τὸ σόν ἔργον ἐστί, τὸ * ἀρ- ἐξ ἀρχῆς
χῆς τυχεῖν; ἢ παραληφθῆναι ἐφ' ἑστίασιν; οὐδαμῶς. πῶς οὖν ἔτι τοῦτ'
ἐστὶν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς
ἐπί σοι, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ; ἀλλά σοι οἱ φίλοι ἀβοήθη-
τοι ἔσονται; τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρά σου ἀργύριον; οὐδὲ

πολίτας ῥωμαίων αὐτοὺς ποιήσεις; τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ'
ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ μὴ
ἔχει αὐτός; κτῆσαι οὖν, φασίν, ἵνα καὶ ἡμεῖς ἔχωμεν. εἰ δύναμαι
κτήσασθαι, τηρῶν ἐμαυτὸν αἰδήμονα, καὶ πιστόν, καὶ μεγαλόφρο-
να, δεικνύετε τὴν ὁδόν, καὶ κτήσομαι. εἰ δ' ἐμὲ ἀξιοῦτε τἀγαθὰ
τὰ ἐμαυτοῦ ἀποβαλεῖν, ἵν' ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε
ὑμεῖς, πῶς ἄνισοί ἐστε, καὶ ἀγνώμονες. τί δὲ καὶ βούλεσθε μᾶλλον;
μᾶλλον ἀργύρειον, ἢ φίλον πιστὸν καὶ αἰδήμονα; εἰς τοῦτο οὖν μοι * συλλαμ-
συλ. βάνετε, καὶ μὴ δι' ὧν ἀποβαλῶ αὐτό, ταῦτά με πράσσειν ἀξιοῦτε.
ἀλλ' ἡ πατρίς, ὅσον ἐπ' ἐμοί, φησίν, ἀβοήθητος ἔσται. πάλιν, ποίαν
ἴσως ταύ. * ταύτην βοήθειαν; * στοὰς οὐχ ἕξει διά σε, οὔτε βαλανεῖα; καὶ τί τοῦτο;
ἢ στό. οὐδὲ * γὰρ ὑποδήματα ἔχει διὰ τὸν σκυτέα; οὐδ' ὅπλα διὰ τὸν χαλ
καὶ κέα; ἱκανὸν δέ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. εἰ δὲ ἄλ-
λον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν
ἂν αὐτὴν ὠφέλεις; ναί. οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ.
τίνα οὖν ἕξω, φησί, χώραν ἐν τῇ πόλει; ἣν ἂν δύνῃ, φυλάττων ἅμα τὸ
πιστὸν καὶ αἰδήμονα. εἰ δ' ἐκείνην ὠφελεῖν βουλόμενος, ἀποβαλεῖς ταῦ
τα, τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς; κγ.

Προετιμήθη σου τὶς ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραλη
φθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτα ἐστί, χαίρειν σε δεῖ, ὅτι
ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακά, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες.
μέμνησο δέ, ὅτι οὐ δύνασαι, μὴ ταῦτα ποιῶν, πρὸς τὸ τυγχάνειν τῶν
ἔχειν δύν. οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι. πῶς γὰρ ἴσον * δύναται, ὁ μὴ φοιτῶν ἐπὶ
θύρας τινός, τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ παραπέμποντι; ὁ
μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι; ἄδικος οὖν ἔσῃ, καὶ ἄπληστος, εἰ μὴ προϊέ
μενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ
λαμβάνειν. ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ, ἂν οὕτω
τύχῃ. ἂν οὖν τις προέμενος τὸν ὀβολόν, λάβῃ θρίδακας, σὺ δὲ μὴ
προέμενος, μὴ λάβῃς, μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος. ὡς γὰρ
ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ ὀβολὸν ὃν οὐκ ἔδωκας. τὸν αὐτὸν δὴ τρό
πον καὶ ἐνταῦθα. οὐ παρεκλήθης ἐφ' ἑστίασίν τινος; οὐ γὰρ ἔδωκας τῷ
καλοῦντι, ὅσου πωλεῖται τὸ δεῖπνον. ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπεί
ας πωλεῖ. δὸς οὖν τὸ διάφορον, εἴ σοι λυσιτελεῖ, ὅσου πωλεῖται. εἰ δὲ
κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ, καὶ
ἀβέλτερος. οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν, τὸ μὴ ἐπαι-
νέσαι

νέσαι ἄνθρωπον, ὃν οὐκ ἤθελεν· τὸ μὴ ἀνέχεσθαι αὐτοῦ ἐπὶ τῆς εἰσόδου. κδ.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἔστιν, ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους· οἷον, ὅταν τοῦ γείτονος ἄλλο παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρόν ἐστιν εὐθὺς λέγειν, ὅτι τῶν γινομένων ἐστίν. ἴσθι οὖν, ὅτι ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τοῦ ἄλλου κατεάγη. οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; οὐδείς ἐστιν, ὃς οὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινον. ἀλλ' ὅταν τὸ αὐτοῦ τινὸς ἀποθάνῃ, εὐθύς, οἴμοι, τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν, περὶ ἄλλων αὐτὸ ἀκούσαντες. κε.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται. εἰ μὲν τὸ σῶμά σου τις ἐπέτρεπε τῷ * ὑπαντήσαντι, ἠγανάκτεις ἄν. [margin: * ἀπαντ.] ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη, καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ; τούτου ἕνεκα, ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ' αὐτό. εἰ δὲ μή, τὴν μὲν πρώτην προθύμως * ἥξεις, μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος. ὕστερον δέ, ἀναφανέντων τινῶν αἰσχρῶν, αἰσχυνθήσῃ. κς. [margin: * ἄρξεις, ἀτε- μηδ.]

Θέλεις ὀλύμπια νικῆσαι; κἀγώ, νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν. ἀλλὰ σκόπει καὶ τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα· καὶ οὕτως ἅπτου * τῶν ἔργων. [margin: * τοῦ ἔργου] δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ, εἶτα * εἰς τὸν ἀγῶνα παρέρχεσθαι. [margin: * ἐν τῷ ἀγῶνι παρέχε.] ἔστι δ' ὅτε χεῖρα * βαλεῖν, [margin: * λαβεῖν] σφυρὸν στρέψαι, πολλὴν ἀφὴν καταπιεῖν· ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ * ταῦτα πάντα νικηθῆναι. [margin: * τῶν παθόντων.] ταῦτα πάντα ἐπισκεψάμενος, ἐὰν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. εἰ δὲ μή, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ αὐλητάς, νῦν δὲ μονομάχους, εἶτα σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σύ, νῦν μὲν ἀθλητής, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος· ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν, ἀλλ' ὡς πίθηκος, πᾶσαν θέαν, * ἐὰν ἴδῃς, μιμῇ, [margin: * ἴδῃ] καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ * περιοδεύσας· [margin: * περιωδεύσας] ἀλλ' εἰκῇ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος, ὡς εὖ Σωκράτης λέγει, καίτοι τίς οὕτω δύναται εἰπεῖν, ὡς ἐκεῖνος; θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν. κζ.

ἄνθρωπε,

Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφὺν κατάμαθε. ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε. δοκεῖς, ὅτι ταῦτα ποιῶν, ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως δυσαρεστεῖν. ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί. ταῦτα ἐπίσκεψαι, εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν. εἰ δὲ μή, πρόσεχε μὴ ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥή-
* μὴ τωρ, εἶτα ἐπίτροπος καίσαρος γένῃ. ταῦτα * οὐ συμφωνεῖ. ἕνα σε δεῖ, ἄνθρωπον ἢ ἀγαθόν, ἢ κακὸν εἶναι· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτὸς· ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ τὰ ἔξω· τοῦτ᾽ ἔστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου. κη.

Τὰ καθήκοντα, ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. πατήρ ἐστιν; ὑπαγορεύεται, ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. ἀλλὰ πατὴρ κακός ἐστι. μήτι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης, ἀλλὰ πρὸς πατέρα. ὁ ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν τὴν πρᾶξιν τὴν σεαυτοῦ πρὸς αὐτόν, μηδὲ σκόπει τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοι ποιήσαντι κατὰ φύσιν, ἡ σὴ ἕξει προαίρεσις. σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς. τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις. ἐὰν τὰς σχέσεις ἐθίζῃς θεωρεῖν. κθ.

Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας, ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα
ἐπὶ ὡς * ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὔτε μέμψῃ πο-
τοὺς θεοὺς τὲ * τοῖς θεοῖς, οὔτε ἐγκαλέσεις, ὡς ἀμελούμενος. ἄλλως τε οὐχ οἷόν τε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἄρῃς ἀπὸ τῶν οὐκ ἐφ᾽ ἡμῖν, καὶ ἐν τοῖς ἐφ᾽ ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν καὶ τὸ κακόν. ὡς ἄν γε τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακόν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς ὧν θέλῃς, καὶ περιπίπτῃς οἷς μὴ θέλῃς, μέμψασθαί σε, καὶ μισεῖν τοὺς αἰτίους. πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῷον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴ-

τια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσθαι· τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια
αὐτῶν, μετιέναι καὶ * τεθηπέναι. ἀμήχανον οὖν, βλάπτεσθαί τινα οἰό- τεθαυμα-
μενον, χαίρειν τῷ δοκοῦντι βλάπτειν· * ὅθεν καὶ τὸ αὐτῇ τῇ βλάβῃ κέναι
χαίρειν, ἀδύνατον. * ὅθεν καὶ πατὴρ ὑπὸ υἱοῦ λοιδορεῖται, ὅταν τῶν ὥσπερ
δοκούντων ἀγαθῶν εἶναι, τῷ παιδὶ μὴ μεταδιδῷ. καὶ πολυνείκην καὶ ὅθεν.
ἐτεοκλέα τοῦτο πολεμίους ἀλλήλοις ἐποίησε, τὸ ἀγαθὸν οἴεσθαι τὴν τυ-
ραννίδα. διὰ τοῦτο ὁ γεωργὸς λοιδορεῖ τοὺς θεούς, διὰ τοῦτο ὁ ναύτης,
διὰ τοῦτο ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα * ἀπολλύ- ἀπολοῦντες
ντες. ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές. ὥστε ὅστις ἐπιμελεῖ-
ται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖ-
* ἐπιμελεῖται. σπένδειν δὲ καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πά- σθαι
τρια, * ἑκάστοις προσήκει καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀ- ἑκάστοτε
μελῶς, μηδὲ γλίσχρως, μηδὲ ὑπὲρ δύναμιν. λ.

Ὅταν μαντικῇ προσίῃς, μέμνησο ὅτι μέν, ὡς ἀποβήσεται, οὐκ οἶ-
δας, ἀλλὰ ἥκεις ὡς ἀπὸ τοῦ μάντεως ἀποπευσόμενος. ὁποῖον δέ τι
ἐστιν, ἐλήλυθας εἰδώς, εἴπερ εἶ φιλόσοφος. εἰ γάρ ἐστι τι τῶν οὐκ ἐφ' ἡ-
μῖν, πᾶσα ἀνάγκη μήτε ἀγαθὸν αὐτὸ εἶναι, μήτε κακόν. μὴ φέρε οὖν
πρὸς τὸν μάντιν, ὄρεξιν, ἢ ἔκκλισιν. εἰ δὲ μή, τρέμων αὐτὸν πρόσει.
ἀλλὰ διεγνωκώς, ὅτι πᾶν ἀποβησόμενον, ἀδιάφορον, καὶ οὐδὲν πρός
σε, ὁποῖον δ' ἂν ᾖ (ἔσται γὰρ αὐτῷ χρήσασθαι καλῶς) καὶ τοῦτο οὐδεὶς
κωλύσει· θαρρῶν οὖν, ὡς ἐπὶ συμβούλους ἔρχου τοὺς θεούς. καὶ λοιπόν, ὅ-
ταν τι συμβουλευθῇ, μέμνησο τίνας συμβούλους παρέλαβες, καὶ τίνων
παρακούσεις ἀπειθήσας. ἔρχου δὲ ἐπὶ τὸ μαντεύεσθαι, καθάπερ ἠξίου
σωκράτης, ἐφ' ὧν ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔ-
χει, καὶ οὔτε ἐκ λόγου, οὔτε ἐκ τέχνης τινὸς ἄλλης ἀφορμαὶ δίδονται
πρὸς τὸ συνιδεῖν τὸ προκείμενον. ὥστε ὅταν δέῃ συγκινδυνεῦσαι
φίλῳ, ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον. καὶ γὰρ ἂν
προείπῃ σοι ὁ μάντις, φαῦλα γεγονέναι τὰ ἱερά, δῆλον ὅτι ὁ θάνα-
τος σημαίνεται, ἢ πήρωσις μέρους σώματος, ἢ φυγή. ἀλλ' * ἐνὶ λό- σὺν λόγῳ
γος, καὶ σὺν τούτοις παρίστασθαι τῷ φίλῳ καὶ πατρίδι συγκινδυ-
νεύειν. τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε τῷ πυθίῳ, ὃς ἐξέβα-
λε τοῦ ναοῦ, τὸν οὐ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ. λα.

Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ, καὶ τύπον, ὃν φυλάξεις ἐ-
πί τε σεαυτοῦ ὤν, καὶ ἀνθρώποις ἐντυγχάνων. καὶ σιωπὴ τὸ πολὺ
ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι' ὀλίγων. σπανίως δέ ποτε και-

ρου παρακολουθοῦντος· ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων, μὴ περὶ μονομάχων, μηδὲ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων, ἢ πομάτων τῶν ἑκασταχοῦ λεγομένων· μάλιστα δὲ, μὴ περὶ ἀνθρώπων λέγοντα, ἢ ἐπαινοῦντα, ἢ συγκρίνοντα. λβ.

Ἂν μὲν οὖν οἷός τε ἦς, μετάγε τοῖς σοῖς λόγοις καὶ τὰ τῶν συνόντων ἐπὶ τὸ προσῆκον. εἰ δὲ ἐν ἀλλοφύλοις ἀπολειφθεὶς τύχοις, σιώπα. λγ.

Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος. λδ.

Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μὴ, ἐκ τῶν ὄντων. λε.

Ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς, διακρούου. ἐὰν δέ ποτε γίνηται
προσοχὴ καιρὸς, ἐντετάσθω σοι ἡ* προσευχή, μήποτε ἄρα ὑπορρυῇς εἰς ἰδιωτισμόν. ἴσθι γὰρ, ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συνανατριβόμενον αὐτῷ μολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός. λϛ.

Τὰ περὶ τὸ σῶμα, μέχρι τῆς χρείας ψυχῆς παραλάμβανε. οἷον τροφὰς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν. τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε. λζ.

Περὶ ἀφροδίσια, εἰς δύναμιν, πρὸ γάμου καθαρευτέον. ἁπτομένῳ δὲ, ὧν νόμιμόν ἐστι, μεταληπτέον. μὴ μέντοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ τὸ, ὅτι αὐτὸς οὐ χρῇ, παράφερε. ἐάν τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ᾽ ἀποκρίνου, ὅτι ἠγνόει γὰρ τὰ ἄλλα προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν. λη.

Εἰς τὰ θέατρα πολὺ παριέναι, οὐκ ἀναγκαῖον. εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τουτέστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾶν μόνον τὸν νικῶντα. οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. βοῆς δὲ καὶ τοῦ ἐπιγελᾶν τινι, ἢ ἐπὶ πολὺ συγκινεῖσθαι, παντελῶς ἀπέχου. καὶ μετὰ τὸ ἀπαλλαγῆναι, μὴ πολλὰ περὶ τῶν γενομένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν. ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου, ὅτι ἐθαύμασας τὴν θέαν. λθ.

Εἰς ἀκροάσεις τινῶν μὴ εἶκε, μηδὲ ῥαδίως πάρισθι. παριὼν δὲ, τὸ σεμνὸν, καὶ εὐσταθὲς, καὶ ἅμα ἀνεπαχθὲς φύλασσε. μ.

Ὅταν τινὶ μέλλῃς συμβάλλειν, καὶ μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων· καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι. μα.

Ὅταν

Ὅταν φοιτᾷς πρός τινας τῶν μέγα δυναμένων, πρόβαλε, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀπεκλείσθη, ὅτι ἐντιναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς σεαυτόν, ὅτι οὐκ ἦν τοσοῦτον. ἰδιωτικὸν γάρ, καὶ διαβεβλημένου πρὸς τὰ ἐκτός. μβ.

Ἐν ταῖς ὁμιλίαις ἀπέστω, τὸ τινὰ τῶν ἑαυτοῦ ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι. οὐ γὰρ ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοι συμβεβηκότων ἀκούειν. ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν. ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμόν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρὸς σὲ τῶν πλησίων ἀνιέναι. ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, ἐπίπληξον τῷ προελθόντι· εἰ δὲ μή, τῷ γε ἀποσιωπῆσαι, καὶ ἐρυθριᾶσαι, καὶ σκυθρωπάσαι, δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ. μγ.

Ἐὰν ἡδονῆς τινος φαντασίαν λάβῃς, * φύλασσε σαυτόν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς· ἀλλ' ἐκδεξάσθω † σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε. ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὅν τε ἀπολαύσεις τῆς ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ· καὶ τούτοις ἀντίθες, ὅπως * ἀπεχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς ἑαυτόν. ἐὰν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μὴ † νικήσῃ σε τὸ προσηνὲς αὐτοῦ, καὶ ἡδύ, καὶ ἐπαγωγόν. ἀλλ' ἀντίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι * ταύτην τὴν νίκην νενικηκότι. μδ.

Ὅταν τι διαγνοὺς, ὅτι ποιητέον ἐστί, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτό, κἂν ᵃ ἀλλ' οἷόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτοῦ ὑπολαμβάνειν. εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ ἔργον φεῦγε· εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς; με.

Ὡς τὸ, ἡμέρα ἐστί, καὶ νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς * λείπει * ᵇ δὲ τὸ κοινὸν τῆς ἑστιάσεως, οἷον μὴ φυλάξῃ, ἀπαξίαν ἔχει. ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο, οὐ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾶν, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα, οἵαν δεῖ φυλαχθῆναι. μς.

Ἂν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ ὃ ἐδύνασο ἐκπληρῶσαι, παρέλιπες. μζ.

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν

* καθάπερ ἐπὶ τῶν ἄλλων, φύλασσε.
† τε
* ἀπεχόμενος χαιρήσῃ
† ἡττήσῃ το-σεαυτῷ τὴν.
ᵃ ἀλλοῖόν τι
ᵇ πρὸς δὲ τὸ συμπεπλεγμένον (ἢ συνημμένον) ἀπαξίαν. οὕτω καὶ τὸ προκειμένων τὰ μείζονα ἐκλέγειν, πρὸς μὲν τὸ σῶμα μεγάλην ἔχει ἀξίαν. πρὸς δὲ τὸ κοινὸν

πόδα· οὕτω πρόσεχε, μὴ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. ἐὰν δὲ τοῦτ'
αὖ ἐφ' ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἁψόμεθα τοῦ
ἔργου. μη.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ ποὺς ὑποδήματος. ἂν μὲν
τούτοις οὖν ἐπὶ * τούτου στῇς, φυλάξεις τὸ μέτρον. ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημ-
ὑπὸ νοῦ λοιπὸν ἀνάγκη φέρεσθαι. καθάπερ καὶ * ἐπὶ τοῦ ὑποδήματος,
ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα
πορφυροῦν, εἶτα κεντητόν. τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐ-
δείς ἐστιν. μθ.

Αἱ γυναῖκες εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν
κυρίαι καλοῦνται· τοιγαροῦν ὁρῶσαι, ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρό-
σεστι, μόνον δὲ συγκοιμᾶσθαι τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζε-
σθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέχειν οὖν ἄξιον, ἵνα
αἴσθωνται * ἔσθονται, διότι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι,
καὶ αἰδήμονες ἐν σωφροσύνῃ. ἀφυΐας σημεῖον τὸ ἐνδιατρίβειν τοῖς
περὶ τὸ σῶμα· οἷον ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πο-
λὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν. ἀλλὰ ταῦτα μὲν ἐν παρέρ-
γῳ ποιητέον, περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή. ν.

Ὅταν τίς κακῶς τι ποιῇ, ἢ κακῶς σε λέγῃ, μέμνησο ὅτι καθήκειν
ποιεῖν λέγει αὐτῷ οἰόμενος * ποιεῖ, ἢ λέγει. οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ
σοὶ φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. ὥστε εἰ κακῶς αὐτῷ φαίνεται, ἐ-
κεῖνος βλάπτεται, ὅς τις καὶ ἐξηπάτηται. καὶ γὰρ τὸ ἀληθὲς, συμ-
ἐὰν ψευδὲς πεπλεγμένον. * ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον
νομίζῃ τις * βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. ἀπὸ τούτων οὖν ὁρμώμενος, πράως
βλάπτεται ἕξεις πρὸς τὸν λοιδοροῦντα. ἐπιφθέγγου γὰρ ἑκάστῳ, * ἔδοξεν αὐτῷ. να.
ὅτι ἔδοξ.

Πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητὴν, τὴν δὲ ἀφόρητον.
αὐτὸ ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν * αὐτῷ μὴ λάμβανε, ὅτι ἀδικεῖ. αὕ-
τη γὰρ λαβή ἐστιν αὐτοῦ οὐ φορητή. ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελ-
καθ' ὃ φὸς, ὅτι σύντροφος· καὶ λήψῃ αὐτὸ, * καθὸ φορητόν ἐστιν. νβ.

Οὗτοι οἱ λόγοι ἀσύνακτοι· ἐγώ σου πλουσιώτερός εἰμι, ἐγώ σου ἄρα
κρείσσων· ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείσσων. ἐκεῖνοι δὲ μᾶλ-
λον συνακτοί· ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς
κρείσσων· ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων· σὺ
δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις. νγ.

Λούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. πίνει τις

πολὺν

πολὺν οἶνον· μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι πολύν. πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶδας, εἰ κακῶς; οὕτως οὖν συμβήσεταί σοι, ἄλλας μὲν φαντασίας καταληπτικὰς καταλαμβάνειν, ἄλλοις δὲ συγκατατίθεσθαι. νδ.

Μηδαμοῦ σαυτὸν εἴποις φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· οἷον ἐν συμποσίῳ μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλ' ἔσθιε ὡς δεῖ. μέμνησο γάρ, ὅτι οὕτως ἀφῃρήκει πανταχόθεν καὶ σωκράτης τὸ ἐπιδεικτικόν. ἤρχοντο πρὸς αὐτὸν, βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι. κἀκεῖνος ἀπῆγεν αὐτοὺς· οὕτως ἠνείχετο παρορώμενος. ὥστε κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ. μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι, ὃ οὐκ ἔπεψας. καὶ ὅταν εἴπῃ σοί τις, ὅτι οὐδὲν οἶδας, καὶ σὺ μὴ δηχθῇς, τότ' ἴσθι, ὅτι * ἄρχῃ τοῦ ἔργου. ἐπεὶ καὶ τὰ πρόβατα, οὐ χόρτον ἤρξες φέροντα τοῖς ποιμέσιν ἐπιδεικνύει, πόσον ἔφαγεν· ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔριον ἔξω φέρει, καὶ γάλα. καὶ σὺ τοίνυν μὴ ταχέως ῥήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα. νε.

Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ· μηδ' ἂν ὕδωρ πίνῃς ἐκ πάσης ἀφορμῆς, λέγε, ὅτι ὕδωρ πίνεις. κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλῃς, σεαυτῷ, καὶ μὴ τοῖς ἔξω· μὴ τοὺς ἀνδριάντας περιλάμβανε, ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς. νς.

Ἰδιώτου στάσις καὶ χαρακτὴρ, οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις καὶ χαρακτὴρ, πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ. νζ.

Σημεῖα προκόπτοντος· οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ λέγει, ὡς ὄντος τινὸς, ἢ εἰδότος τι. ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. κἂν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ· κἂν ψέγῃ, οὐκ ἀπολογεῖται. περίεισι δὲ καθάπερ οἱ ἄρρωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν * καθεστώτων, πρὶν πῆξιν λαβεῖν. ὄρεξιν ἅπασαν * ἦρχεν ἀφ' ἑαυτοῦ· τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν μετατέθεικεν. ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται. ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν, ἔν τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει,

καθισταμένων

ἔρηκεν ἐξ ἑαυτ..

λάσσει, καὶ ἐπιβουλον. νη

Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ χρυσίππου βι-
βλία σεμνύνηται, λέγε αὐτὸς πρὸς ἑαυτὸν, ὅτι εἰ μὴ χρύσιππος ἀ-
σαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος, ἐφ' ᾧ σεμνύνεται. ἐγὼ δὲ τί
βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. ζητῶ οὖν, τίς
ἔρχου ἐπὶ ἐστὶν ὁ ἐξηγούμενος; καὶ ἀκούσας, ὅτι χρύσιππος, * ἔρχομαι πρὸς αὐ-
τόν. ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα; ζητῶ οὖν τὸν ἐξηγούμενον, καὶ μέ-
χρι τούτων οὔπω σεμνὸν οὐδέν. ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολεί-
πεται χρῆσθαι τοῖς παρηγγελμένοις. τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. ἂν
δὲ αὐτὸ τοῦτο ἐξηγεῖσθαι θαυμάσω, τί ἄλλο ἢ γραμματικὸς ἀπετελέ-
σθην ἀντὶ φιλοσόφου; πλήν γε δὴ, ὅτι ἀντὶ ὁμήρου, χρύσιππον ἐξηγού-
μενος. μᾶλλον οὖν ὅταν τις εἴπῃ μοι, ἐπανάγνωθί μοι χρύσιππον, ἐ-
ρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα, καὶ σύμφωνα ἐπιδεικνύ-
ειν τοῖς λόγοις, ὅσα προτίθεται τούτοις ὡς νόμοις, καὶ ὡς ἀσεβήσων παρα-
βησόμενος ἔμμενε. ὅτι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου. τοῦτο γὰρ
οὐκ ἔτ' ἔστι σόν. νθ.

Εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ, τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτὸν, καὶ
ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεω-
συμβέβη ρήματα, οἷς ἔδει σε συμβάλλειν, καὶ * συμβέβληκας; ποῖον οὖν ἔτι
κας διδάσκαλον προσδοκᾷς, * ἵν' εἰς ἐκεῖνον ὑπερθῇ τὴν ἐπανόρθωσιν
ἵνα ποιῆσαι τὴν σεαυτοῦ; οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος.
μεθ' ὑπερθέ ἂν τοίνυν ἀμελήσῃς, καὶ ῥαθυμήσῃς, καὶ * ἀεὶ ὑπερθέσεις ἐξ ὑπερ-
σεως ποιῇς θέσεων ποιῇς, προθέσεις ἐκ προθέσεων, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλ-
λαις ὁρίζῃς, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας,
ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων. ἤδη οὖν ἀξίωσον
σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα, καὶ πᾶν τὸ βέλτιστον
φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος. κἂν ἐπίπονόν τι ἢ ἡδὺ, ἢ
ἔνδοξον ἢ ἄδοξον προσάγηται, μέμνησο ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πά-
ἡ ἔτι, καὶ ρεστι τὰ ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι· * καὶ ὅτι παρὰ μίαν
ἔτι παρὰ ἧτταν καὶ ἔνδοσιν ἢ ἀπόλλυται προκοπὴ, ἢ σώζεται. σωκράτης
οὕτως ἀπετελέσθη, ἐπὶ πάντων προσάγων ἑαυτὸν, μηδενὶ ἄλλῳ προ-
σέχων, ἢ τῷ λόγῳ. σὺ δὲ εἰ καὶ μήπω εἶ σωκράτης, ὡς σωκράτης γε
εἶναι βουλόμενος, ὀφείλεις βιοῦν. ξ.

Ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ, ὁ
περὶ χρήσεως τῶν δογμάτων· οἷον, ὁ τοῦ μὴ ψεύδεσθαι. ὁ δεύτερος, ὁ

τῶν

τῶν ἀποδείξεων, οἷον, * πῶς οὖν δεῖ ψεύδεσθαι. τρίτος, ὁ αὐτῶν τούτων βεβαιωτικός, καὶ † διαρθρωτικός, οἷον, πόθεν ὅτι τοῦτο ἀπόδειξις. τί γάρ ἐστιν ἀπόδειξις, τί ἀκολουθία, τί μάχη, τί ἀληθές, τί ψεῦδος; οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον, ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον· ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν, καὶ περὶ * ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή· τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. τοιγαροῦν ψευδόμεθα μέν, * πῶς δὲ ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

πόθεν ὅτι οὗ
† διαρθρωτικός
ἐκείνων
πῶς ἢ δεῖ ἀποδεικνύναι ὅτι οὐ ψεῦσον.

ξα.

Ἐπὶ παντὸς πρόχειρα ἐκτέον ταῦτα· ἄγε δή με ὦ Ζεῦ, καὶ σὺ ἡ πεπρωμένη, ὅποι ποθ' † ἡμῖν εἰμι διατεταγμένος, ὡς * ἕψομαί γε ἄοκνος. ἢν δέ γε μὴ θέλω, ᵃ οὐδὲν ἧττον ἕψομαι. ξβ.

† ὑμῖν
* ἕψωμαι
a κακὸς γενόμενος οὐδ.

Ὅστις δ' ᵇ ἀνάγκῃ συγκεχώρηκε καλῶς, σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖα ἐπίσταται. † ἀλλὰ καὶ τὸ τρίτον· ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γινέσθω· ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ.

b αὖ
† ἀλλ' ὦ κρείτων

## ΤΑ ΕΦΕΞΗΣ, ΕΚ ΤΩΝ ΕΚΛΟΓΩΝ

Ἀποφθεγμάτων Ἰωάννου τοῦ Στοβαίου.

κεφ. ξγ.

Ὁ τύχης βίος συμπεπλεγμένος ἔοικε χειμάῤῥῳ ποταμῷ. καὶ γὰρ ταραχώδης, καὶ ἰλύος ἀνάμεστος, καὶ δυσέμβατος, καὶ τυραννικός, καὶ πολύηχος, καὶ ὀλιγοχρόνιος. ψυχὴ ὁμιλοῦσα ἀρετῇ ἔοικεν ἀενάῳ πηγῇ. καὶ γὰρ καθαρόν, καὶ ἀτάραχον, καὶ πότιμον, καὶ νόσιμον, καὶ κοινωνικόν, καὶ ἀβλαβές, καὶ ἀνώλετρον. Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον ὅτι κακὸς εἶ. Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπὸ αὐτῶν τιμωρῇ. Μὴ οὕτω τὸ ἐκ τῆς δόξης αἰσχύνου, ὡς τὸ τῆς ἀληθείας ἀπόφευγε. Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν. μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς ποιεῖν, καὶ οὕτω καρπώσῃ καὶ καλῶς ἀκούειν. Ἐξέταζε σαυτόν, πότερον πλουτεῖν θέλεις, ἢ εὐδαιμονεῖν. καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθόν, οὔτε ἐπὶ σοὶ πάντῃ· εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθόν, καὶ ἴδι σοὶ· ἴδι τὸ μὲν τύχης ἐπίκαιρον δάνειον, τὸ δὲ τῆς εὐδαιμονίας, προαιρέσεως.

Καθάπερ

Καθάπερ ἔχιν, ἢ ἀσπίδα, ἢ σκορπίον ἐν ἐλεφαντίνῃ, ἢ χρυσῇ θεώμενος κύστῃ, οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης, ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ' ὅτι λυμαντικὴ ἡ φύσις, ἐκτρέπῃ καὶ μυσάττῃ· οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης, ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας. ξδ.

Ὁ πλοῦτος οὐ τῶν ἀγαθῶν, ἡ πολυτέλεια τῶν κακῶν, ἡ σωφροσύνη τῶν ἀγαθῶν. καλεῖ ἡ μὲν σωφροσύνη ἐπὶ τὴν εὐτέλειαν καὶ τὴν κτῆσιν τῶν ἀγαθῶν, ὁ δὲ πλοῦτος ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. δυσχερὲς ἄρα πλουτοῦντα σωφρονεῖν, ἢ σωφρονοῦντα πλουτεῖν. Ὥσπερ εἰ ἐν νηὶ ἐσπάρης ἢ ἐτέχθης, οὐκ ἂν ἔσπευδες αὐτῆς κυβερνήτης ὑπάρχειν. οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέσται, οὔτε ἐνταῦθα ὁ πλοῦτος, ἀλλὰ πάντῃ ὁ λόγος. ὥσπερ οὖν σοι φυσικὸν καὶ συγγενὲς ὁ λόγος, τοῦτον καὶ οἰκεῖον ἡγησάμενος, τούτου ἐπιμελοῦ. Ἐν Πέρσαις μὲν γεννηθεὶς, οὐκ ἔσπευδες οἰκεῖν τὴν Ἑλλάδα, ἀλλ' αὐτόθι διάγων εὐτυχεῖν. ἐν πενίᾳ δὲ γεννηθεὶς τί σπεύδεις πλουτεῖν, ἀλλ' οὐκ αὐτόθι μένων εὐτυχεῖν; ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον ὑγιαίνειν ἄμεινον, ἢ ἐπὶ πλατείας κλίνης κυλινδούμενον νοσεῖν. οὕτω καὶ ἐν μικρᾷ περιουσίᾳ βέλτιον συστελλόμενον εὐδαιμονεῖν, ἢ ἐν μεγάλῃ τυγχάνοντα δυστυχεῖν. οὐ πενία λύπην ἐργάζεται, ἀλλὰ ἐπιθυμία· οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. κτησάμενος τοιγαροῦν τὸν λογισμὸν, οὔτε πλούτου ἐπιθυμίαν, οὔτε πενίαν μέμψῃ. οὔτε ἵππος ἐπὶ φάτνῃ, καὶ φαλάροις καὶ τάπησι, οὔτε ὄρνις ἐπὶ κρώκῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ, ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν ποδῶν, ὁ δὲ πτερῶν. καὶ σὺ τοιγαροῦν, μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ, καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μέγα ὀγκύλλου, ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιΐᾳ. ξε.

Τὸ καλῶς ζῆν, τοῦ πολυτελῶς διαφέρει. τὸ μὲν γὰρ ἐκ σωφροσύνης, καὶ αὐταρκείας, καὶ εὐταξίας, καὶ κοσμιότητος, καὶ εὐτελείας παραγίνεται· τὸ δὲ ἐξ ἀκολασίας, καὶ τρυφῆς, καὶ ἀταξίας, καὶ ἀκοσμίας. τέλος δὲ τοῦ μὲν ἔπαινος ἀληθὴς, τοῦ δὲ ψόγος. εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι. Μέτρον ἔστω σοι παντὸς σίτου καὶ ποτοῦ, ἡ πρώτη τῆς ὀρέξεως ἔμπλησις. ὄψον δὲ καὶ ἡδονὴ αὐτὴ, ἡ ὄρεξις. καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, ποτῷ τε παραπεσόντι ἀρκεσθήσῃ. Τὰς σιτήσεις

ποιοῦ,

ποιοῦ, μὴ ἀνειμένας, καὶ σκυθρωπὰς, ἀλλὰ λαμπρὰς, καὶ εὐτελεῖς, ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ παραβλάπτωνται φαινακιζόμεναι, καὶ τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, ἔπειτα βλάπτωνται τρυφῶντα μὲν πλεῖστον, νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα. φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ μόνον ἐπαινῇ, ἀλλὰ ἡ ἐν τῇ ψυχῇ εὐφρασία. ἐπεὶ τὰ μὲν ἀποσκυβαλίζεται, καὶ συνεκρεῖ ὡς ὁ ῥοῦς. ἡ δὲ κἂν ἡ ψυχὴ χωρισθῇ, διαπαντὸς ἀκήρατος μένει. Ἐν ταῖς ἑστιάσεσι μελέτα τίσι τὰ δύο ὑποδέχῃ, σῶμα καὶ ψυχήν. καὶ ὅ,τι ἂν τῷ σώματι δῷς, τοῦτο εὐθὺς ἐξέχεας· ὅ,τι δὲ τῇ ψυχῇ, διαπαντὸς τηρεῖς. Μὴ συγκεράσας ἅμα ὀργὴν πολυτελείᾳ προσένεγκαι. πολυτέλεια μὲν ἐπιδεχθεῖσα τῷ σώματι, μετὰ οὐ πολὺ οἴχεται. ἡ δὲ ὀργὴ ἐπὶ τὸ μήκιστον μένει. σκόπει τοιγαροῦν, ὅπως μὴ ὑπ' ὀργῆς ἐξαχθεὶς τοὺς δαιτυμόνας πολυτελῶς ὑβρίσῃς, ἀλλὰ μᾶλλον μεθ' ἡμερότητος εὐτελῶς εὐφρανῇς. Αἰσχρὸν γὰρ τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τὴν κατάποσιν, τὸ τῶν θεῶν δῶρον τὸν λόγον πικρὸν τῇ κακίᾳ ἀποδεικνύναι. Μελέτω σοι ἐν τοῖς σιτίοις, ὅπως σοι ὑπουργοῦντες μὴ πλουσιώτεροι τῶν ὑπουργουμένων ὑπάρχωσιν. ἄτοπον γὰρ ὀλίγαις στιβάσι πολλὰς δουλεύειν ψυχάς.

ξϛ.

Ἄριστον μὲν ἦν κἂν ταῖς παρασκευαῖς χειρουργεῖν, κἂν ταῖς τροφαῖς ἑστιώμενος κοινωνεῖν τοῖς θεραπεύουσι τῶν παρόντων. εἰ δὲ τὸ τοιόνδε δυσχερὲς τῷ καιρῷ ὑπάρχοι, μέμνησο, ὅτι μὴ κάμνων ὑπὸ καμνόντων ὑπουργῇ, ἐσθίων ὑπὸ μὴ ἐσθιόντων, πίνων ὑπὸ μὴ πινόντων, λαλῶν ὑπὸ σιωπώντων, ἀνειμένος ὑπὸ συνεσταλμένων· καὶ οὔτε αὐτὸς φλεγμαίνων ἄτοπον πείσῃ, οὔτε ἕτερον ἀγριαίνων χαλεπὸν ἐργάσῃ. Ἐρίζειν καὶ φιλονικεῖν, πάντη ἄτοπον· μάλιστα δὲ ἐν ταῖς παρὰ πότον ὁμιλίαις ἀπρεπές. οὔτε γὰρ μεθύων νήφοντα διδάξει τις, οὔτ' αὖ μεθύων πρὸς νήφοντος πεισθείη. ἔνθα δ' ἂν μὴ παρῇ νῆψις, ἀτελὲς εἰκῇ σε διατείνεσθαι. Οἱ τέττιγες μουσικοὶ, οἱ δὲ κοχλίαι ξηροί. χαίρουσι δὲ, οἱ μὲν ὑγραινόμενοι, οἱ δὲ ἀλεαινόμενοι. ἔπειτα προκαλεῖται τοὺς μὲν ὁ δρόσος, καὶ ἐπὶ τούτῳ ἐκδύουσι· τοὺς δὲ αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καὶ ἐν αὐτῷ ᾄδουσι. τοιγαροῦν εἰ βούλει μουσικὸς εὐάρμοστος ὑπάρχειν ἀνὴρ, ἡνίκα μὲν ἐν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχὴ, τότε αὐτὴν μὴ ἔα προεῖσαν μολύνεσθαι, ἀλλ' ἡνίκα αὖ ἐν τοῖς συνδείπνοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καὶ ᾄδειν τὰ τῆς δικαιοσύνης κέλευε τὰ λόγια. Τὸν προσ-

μιλοῦντα τριχῆ διασκοπεῖ, ἢ ὡς ἀμείνονα, ἢ ὡς ἥττονα, ἢ ὡς ἴσον. καὶ εἰ μὲν ἀμείνονα, ἀκούειν χρή, καὶ πείθεσθαι αὐτῷ· τὸν δὲ ἥττονα ἀπειθεῖν· εἰ δὲ ἴσον, συμφωνεῖν. καὶ οὔποτε ἁλώσῃ φιλονεικίας. ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι. Ζητῶν τὴν ἀλήθειαν, οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾶν· καὶ εὑρὼν τὴν ἀλήθειαν, ἕξεις τὸ μὴ νικᾶσθαι. ἡ ἀλήθεια παρ' αὐτῇ νικᾷ, ἡ δὲ δόξα παρὰ τοῖς ἔξω. ξζ.

Ἐλευθερία καὶ δουλεία, τὸ μὲν ἀρετῆς ὄνομα, τὸ δὲ κακίας. ἄμφω δὲ προαιρέσεως ἔργα. οἷς δὲ προαιρέσεις οὐ κοινωνεῖ, καὶ τούτων ψαύει μὲν οὐδέτερον. ψυχὴ δὲ δεσπόζειν εἴωθε σώματος, καὶ ὅσα τῶν ἀμφὶ σῶμα προαιρέσεως ἀκοινώνητα. οὐδεὶς γὰρ δοῦλος, τὴν προαίρεσιν ὑπάρχων ἐλεύθερος. κακὸς δεσμός, σώματος μὲν τύχη, ψυχῆς δὲ κακία. ὁ μὲν γὰρ τὸ σῶμα λελυμένος, τὴν δὲ ψυχὴν δεδεμένος, δοῦλος. ὁ δὲ αὖ τὸ σῶμα δεδεμένος, τὴν δὲ ψυχὴν λελυμένος, ἐλεύθερος. τὸν μὲν σώματος δεσμὸν λύει καὶ φύσις διὰ θανάτου, καὶ ἡ κακία διὰ χρημάτων· τὸν δὲ τῆς ψυχῆς, ἀρετὴ διὰ μαθήσεως, καὶ μεγαλοψυχίας, καὶ ἀσκήσεως. Εἰ βούλει ἀταράχως τε καὶ εὐαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντας σοι σύμπαντας ἀγαθοὺς ἔχειν. ἕξεις δὲ ἀγαθούς, εἰ τοὺς μὲν ἑκόντας παιδεύοις, τοὺς δὲ ἄκοντας, ἔπειτα κεχειρωμένους ἀπολύοις· συμφεύξεται γὰρ τοῖς φυγοῦσιν ἡ μοχθηρία ἅμα καὶ ἡ κακία· συναπολειφθήσεται δὲ τοῖς συμμένουσί σοι ἡ χρηστότης, καὶ ἡ ἐλευθερία. Βέλτιον μετὰ ἑνὸς ἐλευθέρου ζῶντα ἄφοβον, καὶ ἐλεύθερον ὑπάρχειν, ἢ μετὰ πολλῶν δουλεύειν. Ὃ φεύγεις παθεῖν, τοῦτο μὴ ἐπιχείρει διατιθέναι. φεύγεις δὲ δουλείαν, φυλάσσου δουλεύεσθαι. ὑπομένων γὰρ δουλεύεσθαι, αὐτὸς ὑπάρχων πρότερον ἔοικας δοῦλος· οὔτε γὰρ κακία ἀρετῇ κοινωνεῖ, οὔτε ἐλευθερία δουλείᾳ. ὥσπερ ὁ ὑγιαίνων οὐκ ἂν ἀπὸ νοσούντων βούλοιτο θεραπεύεσθαι, οὔτε τοὺς συνοικοῦντας ἑαυτῷ δουλεύειν· οὕτως οὔτε ἐλεύθερος ἀνάσχοιτ' ἂν ὑπὸ δούλων ὑπηρετεῖσθαι, ἢ τοὺς συμβιοῦντας ἑαυτῷ δουλεύειν. Ὅστις θέλει δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολυθήτω δουλείας. ἔσῃ δ' ἐλεύθερος, ἂν ἀπολυθῇς ἐπιθυμίας. οὔτε γὰρ Ἀριστείδης, οὔτε Ἐπαμινώνδας, οὔτε Λυκοῦργος πλουτοῦντες καὶ δουλευόμενοι, ὁ μὲν δίκαιος, ὁ δὲ θεός, ὁ δὲ σωτὴρ προσηγορεύθησαν· ἀλλ' ὅτι πενόμενοι, τὴν Ἑλλάδα δουλείας ἀπέλυον. ξη.

Εἰ

Εἰ θέλεις τὴν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τὸν Σπαρτιάτην Λυκοῦργον. ὃν γὰρ τρόπον οὗτος οὐ τείχεσι τὴν πόλιν ἔφραξεν, ἀλλ' ἀρετῇ τοὺς ἐνοικοῦντας ὠχύρωσε, καὶ διαπαντὸς ἐτήρησεν ἐλευθέραν τὴν πόλιν· οὕτω καὶ σὺ μὴ μεγάλην αὐλὴν περίβαλλε, καὶ πύργους ὑψηλοὺς ἀνίστα, ἀλλὰ τοὺς ἐνοικοῦντας εὐνοίᾳ, καὶ πίστει, καὶ φιλίᾳ στήριζε, καὶ οὐδὲν αὐτὴν εἰσελεύσεται βλαβερόν, οὐδ' ἂν τὸ σύμπαν τῆς κακίας παρατάξηται στῖφος. Μὴ πίναξι καὶ γραφαῖς τὴν οἰκίαν σου περίβαλλε, ἀλλὰ σωφροσύνῃ κατάγραφε. τὸ μὲν γὰρ ἀλλοῖον τῶν ὀφθαλμῶν ἐστιν ἐπίκουρος γοητεία, τὸ δὲ σύμφυτος καὶ ἀνεξάλειπτος καὶ ἀΐδιος οἰκίας κόσμος. Ἀντὶ βοῶν ἀγέλης, πειρῶ φίλων ἀγέλας ἐναγελάζεσθαι σου τῇ οἰκίᾳ. Ὥσπερ λύκος ὅμοιον κυνί, οὕτω καὶ κόλαξ καὶ μοιχὸς καὶ παράσιτος ὅμοιος φίλῳ. πρόσεχε τοιγαροῦν, μὴ ἀντὶ κυνῶν φυλάκων, λάθῃς λυμεῶνας εἰσδεχόμενος λύκους. Τὸ μὲν γύψῳ λευκανθείζουσαν σπουδάζειν θαυμάζεσθαι οἰκίαν, ἀπειροκάλου· τὸ δὲ ἦθος χρηστότητι κοινωνίας λαμπρύνειν, φιλοκάλου τε ἅμα καὶ φιλανθρώπου. Ἐὰν θαυμάζῃς τὰ μικρὰ πρῶτον, μεγάλων οὐκ ἀξιωθήσῃ. ἐὰν δὲ καταφρονήσῃς τῶν μικρῶν, μεγάλως θαυμασθήσῃ. Οὐδὲν μικρότερον φιληδονίας, καὶ φιλοκερδίας, καὶ ἀλαζονείας· οὐδὲν κρεῖσσον μεγαλοψυχίας, καὶ πραότητος, καὶ φιλανθρωπίας. οὔτε ναῦν ἐκ μιᾶς ἀγκύρας, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ἁρμοστέον. Καὶ τοῖς σκέλεσι, καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν. ξθ.

Ὥσπερ εἰ ναῦν κυβερνᾶν ἤθελες, πάντως ἂν τὴν κυβερνητικὴν ἐξεμάνθανες τέχνην. ἔξεστι γάρ σοι, ὥσπερ ἐκεῖσε πᾶσαν ναῦν, οὕτω κἀνθάδε πᾶσαν κυβερνᾶν πόλιν. Εἰ πρόκειταί σοι πόλιν ἀναθήμασι κοσμεῖν, σεαυτὸν πρῶτον ἀνάθες τὸ κάλλιστον ἡμερότητος καὶ δικαιοσύνης καὶ εὐποιΐας ἀνάθημα. Εὐποιήσεις σὺ τὰ μέγιστα τὴν πόλιν, εἰ μὴ τοὺς ὀρόφους ὑψώσῃς, ἀλλὰ τὰς ψυχὰς αὐξήσῃς. ἄμεινον γὰρ ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχάς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα. Μὴ τοῖς ἐξ Εὐβοίας καὶ Σπάρτης λίθοις τοὺς τοίχους τῇ κατασκευῇ ποίκιλλε, ἀλλὰ γὰρ τῇ ἐκ τῆς Ἑλλάδος παιδείᾳ τὰ στέρνα τῶν πολιτῶν, καὶ τῶν πολιτευομένων διακόσμει. γνώμαις γὰρ ἀνδρῶν εὖ οἰκοῦνται πόλεις, ἀλλ' οὐ λίθοις καὶ ξύλοις. ὥσπερ εἰ λέοντα ἐβούλει τρέφειν, οὐκ ἂν σοι τῆς πολυτελείας τῶν ζωγρείων ἔμελλεν, ἀλλὰ τῆς πράξεως τῶν ζώων· οὕτως εἰ πολιτῶν πειρᾶς προΐστασθαι, μὴ τοσοῦτον τῆς πολυτελείας τῶν ἀναθημάτων

φρόντιζε, ὁπόσον τι ἀνδρείας τῶν ἐνδιατριβόντων ἐπιμελοῦ. Καθάπερ ἀγαθὸς πωλοδάμνης, οὐ τῶν πώλων τοὺς μὲν ἀγαθοὺς τρέφει, τοὺς δὲ δυσηνίους λιμώττειν ἐᾷ· ἀλλὰ τρέφει μὲν ἐπίσης ἄμφω, κολάζει δὲ μᾶλλον θάτερον ἐξισοῦν θατέρῳ βιαζόμενος· οὕτω καὶ κηδεμονικὸς ἀνὴρ, καὶ πολιτικῆς ἐπιστήμων δυνάμεως, τῶν πολιτῶν τοὺς μὲν εὐγνώμονας ποιεῖν ἐπιχειρεῖ, τοὺς δὲ ἔμπαλιν οὐ καθάπαξ διαφθείρεσθαι, ἀλλὰ τροφῆς μὲν ἀμφοῖν ἥκιστα καταφρονεῖ· παιδεύει δὲ, καὶ σφοδρότερον ἐπισπέρχει τὸν ἀντιβαίνοντα τῷ λόγῳ καὶ τῷ νόμῳ. Καθάπερ οὔτε κλαγγῇ χὴν, οὔτε βληχῇ καταπλήσσεται πρόβατον, οὕτως οὐδὲ πλήθους ἀνοήτου σε δεδιττέσθω φωνή. Ὥσπερ πλῆθος ἀκαίρως αἰτοῦντί σε τῶν ἰδίων οὐ δυσωπεῖ, οὕτω μηδὲ ὄχλον ἀδίκως σε δυσωποῦντα διατραπῇς. Ὅ, τι ἐπιβάλλει τῇ πόλει, τοῦτο εἰσφέρε φθάνων, καὶ οὐδέποτε αἰτηθήσῃ τὰ μὴ ἐπιβάλλοντα. Ὥσπερ ὁ ἥλιος οὐ περιμένει τὰς λιτὰς, καὶ γοητείας, ἵνα ἀνατείλῃ, ἀλλ' εὐθὺς λάμπει, καὶ πρὸς ἁπάντων ἀσπάζεται· οὕτω μηδὲ σὺ περίμενε κρότους καὶ ψόφους, καὶ ἐπαίνους, ἵνα εὖ ποιήσῃς, ἀλλ' ἑκὼν εὐεργέτει, καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ. ο.

Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι. τοῦ γὰρ ζῆν κακῶς, τὸ τεθνάναι κρεῖσσον. Πύρρων ἔλεγε μηδὲν διαφέρειν ζῆν, ἢ τεθνάναι· καί τις ἔφη πρὸς αὐτὸν, τί οὖν σὺ οὐκ ἀποθνήσκεις; ὁ δὲ, ὅτι εἶπεν οὐδὲν διαφέρει. θαυμαστὴ ἡ φύσις, καὶ ὥς φησι Ξενοφῶν, φιλόζωος. τὸ γοῦν σῶμα τὸ πάντων ἀηδέστατον καὶ ῥυπαρώτατον, στέργομεν καὶ θεραπεύομεν· εἰ γὰρ ἔδει πέντε μόναις ἡμέραις θεραπεῦσαι τὸ τοῦ γείτονος σῶμα, οὐκ ἂν ὑπεμείναμεν· ὅρα γὰρ οἷόν ἐστιν, ἕωθεν ἀναστάντα τρίβειν τοὺς ὀδόντας τοὺς ἀλλοτρίους, καί τι τῶν ἀναγκαίων ποιήσαντα ἀπονίζειν ἐκεῖνα τὰ μέρη. τῷ ὄντι θαυμαστόν ἐστι φιλεῖν πρᾶγμα, ᾧ τοσαῦτα λειτουργοῦμεν καθ' ἑκάστην ἡμέραν. Νάττω τουτονὶ τὸν θύλακον, εἶτα κενῶ. τί τούτου βαρύτερον; ἀλλὰ θεῷ δεῖ με ὑπηρετεῖν· διὰ τοῦτο μένω καὶ ἀνέχομαι, λούων τὸ δύστηνον τοῦτο σωμάτιον, χορτάζων, σκέπων. ὅτε δὲ νεώτερος ἦν, καὶ ἄλλο τι προσέταττέ μοι, καὶ ὅμως ἠνειχόμην αὐτοῦ. διὰ τί οὖν οὐκ ἀνέχεσθε, ὅταν ἡ δοῦσα ἡμῖν φύσις τὸ σῶμα ἀφαιρῆται; φιλῶ φησὶν αὐτό. οὐκ οὖν ὃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸ τὸ φιλεῖν ἡ φύσις σοι δέδωκεν. ἡ δὲ αὐτὴ λέγει, ἄφες αὐτὸ ἤδη, καὶ μηκέτι πρᾶγμα ἔχε. Ἐὰν νέος τελευτᾷ τὸν βίον, ἐγκαλεῖ τοῖς θεοῖς, ὅτι δέον αὐτὸν ἀναπεπαῦσθαι, πρᾶγμα ἔχει, καὶ οὐδὲν ἧττον ὅ-

ταν

ται προσίῃ ὁ θάνατος, ζῆν βούλεται, καὶ πέμπει πρὸς ἰατρόν, καὶ δεῖται αὐτοῦ μηδὲν ἀπολιπεῖν προθυμίας καὶ ἐπιμελείας. θαυμαστοί ἔφη ἄνθρωποι, μήτε ζῆν θέλοντες, μήτε ἀποθνήσκειν. Τοῦ πλείονος βίου, φαυλοτέρου δὲ, τὸν ἐλάσσω ἀμείνονα ὄντα, πάντῃ πάντως προαιρετέον. οα.

Πλούτῳ μὲν δὴ χρηστέον ὡς ὕλῃ τινὸς, οὐκ ἐπὶ παντὸς ὁμοίως. ἀρετὴν οὖν πᾶσι μᾶλλον εὐκτέον, ἢ πλοῦτον ἀνοήτοις σφαλερόν. ὑπὸ γὰρ χρημάτων αὔξεται κακία· καὶ ὅσῳ τις ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων. Οὐδεὶς φιλοχρήματος, καὶ φιλήδονος, καὶ φιλόδοξος, καὶ φιλάνθρωπος, ἀλλὰ μόνος ὁ φιλόκαλος. Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηὶ μεγάλῃ καὶ γλαφυρᾷ, καὶ πολυχρύσῳ πλέων βαπτίζεσθαι, οὕτω μηδὲ ἐν οἰκίᾳ αἱροῦ ὑπερμεγέθει, καὶ πολυτελεῖ καθήμενος χειμάζεσθαι. Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων, ὡς ἥκιστα δὲ πλούτῳ καὶ ἀρχαῖς. τοσοῦτον ὑπεραίρει πενίας ἀγαθὸν, ὡς αἰσχροῦ πλούτου, νόμιμος ἂν εἴη, οὐδεὶς ἀλλάξαιτο πενίαν. εἴγε μὴ τῶν ποτε Ἀθηναίων ὁ πλουσιώτατος ἀμείνων ἦν Ἀριστείδου καὶ Σωκράτους Θεμιστοκλῆς ὁ Νεοκλέους ἐν πενίᾳ τῆς ἀρετῆς. ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ, καὶ αὐτὸς ἐξίτηλός τε καὶ ἀνώνυμος. φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα συνοίχεται, τὸ δὲ καλὸν αἰώνιον. Εἰς συμπόσιον μὲν οὖν παρακληθέντες, τῷ παρόντι χρώμεθα. εἰ δέ τις κελεύοι τὸν ὑποδεχόμενον ἰχθῦς αὐτῷ παρατιθέναι, ἢ πλακοῦντας, ἄτοπος ἂν δόξειεν. ἐν τῷ κόσμῳ αἰτοῦμεν τοὺς θεοὺς, ἃ μὴ διδόασι, καὶ ταῦτα πολλῶν ὄντων, ἅ γε ἡμῖν δεδώκασι. χαρίεντες ἔφη εἰσὶν, οἱ μέγα φρονοῦντες ἐπὶ τοῖς οὐκ ἐφ' ἡμῖν. ἐγώ σου φησὶ κρείττων εἰμὶ, ἀγροὺς γὰρ ἔχω πολλοὺς, σὺ δὲ λιμῷ παρατείνῃ. ἄλλος λέγει, ἐγὼ ὑπατικός εἰμι. ἄλλος, ἐπίτροπος ἐγώ· ἄλλος, ἐγὼ οὔλας τρίχας ἔχω. ἵππος δ' ἵππῳ οὐ λέγει, ὅτι κρείττων εἰμί σου· πολὺν γὰρ κέκτημαι χιλὸν, καὶ κριθὰς πολλάς, καὶ χαλινοί μοι εἰσὶ χρυσοῖ, καὶ ἐφίππια ποικίλα· ἀλλ' ὅτι ὠκύτερός σου εἰμί. Καὶ πᾶν ζῷον κρεῖττον καὶ χεῖρόν ἐστιν ἐκ τῆς ἑαυτοῦ ἀρετῆς καὶ κακίας. ἆρ' οὖν ἀνθρώπου μόνου ἀρετὴ οὐκ ἔστιν; ἀλλὰ δεῖ ἡμᾶς εἰς τρίχας ἀφορᾶν, καὶ τὰ ἱμάτια, καὶ τοὺς πάππους; τῶν μὲν ἰατρῶν μηδὲν συμβουλευόντων ἄχθονται οἱ κάμνοντες, καὶ ἡγοῦνται ἀπεγνῶσθαι ὑπ' αὐτῶν. πρὸς δὲ τὸν φιλόσοφον διότι οἰηθῶσαι, οὐκ ἂν τις οὕτω διατεθείη, ὥστε ἀπεγνῶσθαι ὑπ' αὐτοῦ σωφρονήσειν, εἰ μηδὲν λέγει τι πρὸς αὐτὸν τῶν χρησίμων. Οἱ τὸ

σῶμα εὖ διακείμενοι, καὶ καύματα καὶ ψύχη ὑπομένουσιν· οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι, καὶ ὀργὴν, καὶ λύπην, καὶ περιχαρείαν, καὶ τἄλλα πάθη φέρουσι.

Τὸ δὲ Λυκούργου τοῦ Λακεδαιμονίου, τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν ὀφθαλμῶν τὸν ἕτερον, καὶ παραλαβὼν τὸν νεανίσκον παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο ὅπως αὐτὸς βούληται, τούτου μὲν ἀπέχετο. παιδεύσας δὲ αὐτὸν, καὶ ἀποφήνας ἄνδρα ἀγαθὸν, παρήγαγεν εἰς τὸ θέατρον. θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων, τοῦτον μέντοι λαβὼν, ἔφη, παρ' ὑμῶν ὑβριστὴν καὶ βίαιον, ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν.

Πίτακος ἀδικηθεὶς ὑπό τινος, καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν, εἰπών· συγγνώμη τιμωρίας ἀμείνων. τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους. ὅταν μετὰ ἀνατάσεως καὶ ἀπειλῆς ἐπιχειρῇς, μέμνησο προλέγειν ὅτι ἥμερος εἶ, καὶ οὐδὲν ἄγριον δράσας, ἀμετανόητος καὶ ἀνεύθυνος διαγενήσῃ.

Διογένης οὐδένα καλὸν ἔφησεν εἶναι πόνον, ὃ μὴ τέλος εἶναι εὐψυχίαν, καὶ τόνον ψυχῆς, ἀλλ' οὐχὶ σώματος.

Βέλτιον ὀλιγάκις πλημμελεῖν, ὁμολογοῦντα σωφρονεῖν πλεονάκις, ἢ ὀλιγάκις ἁμαρτεῖν, λέγοντα πλημμελεῖν πολλάκις.

Τοὺς δυσχερεῖς δὲ φιλοσόφους εἰς μέσον ἄγοντες, οἷς οὐ δοκεῖ κατὰ φύσιν ἡδονὴ εἶναι, ἀλλ' ἐπιγίνεσθαι τοῖς κατὰ φύσιν, δικαιοσύνῃ, σωφροσύνῃ, ἐλευθερίᾳ. τί ποτ' οὖν ἡ ψυχὴ, ἐπὶ μὲν τοῦ σώματος ἀγαθοῖς μικροτέροις οὖσι χαίρει, ἐπὶ δὲ τοῖς αὐτῆς ἀγαθοῖς μεγίστοις οὖσιν οὐχ ἥδεται; καίτοι δέδωκέ μοι ἡ φύσις αἰδῶ, καὶ πολλὰ ὑπερυθριῶ, ὅταν τι ὑπολάβω αἰσχρὸν λέγειν· τοῦτό με τὸ κίνημα οὐκ ἐᾷ τὴν ἡδονὴν θέσθαι ἀγαθὸν, καὶ τέλος τοῦ βίου.

Ὥσπερ ἀληθὴς ζυγὸς, οὔτε πρὸς ἀληθοῦς ἰθύνεται ζυγοῦ, οὔθ' ὑπὸ ψευδοῦς κρίνεται· οὕτω καὶ δίκαιος κριτὴς, οὔθ' ὑπὸ δικαίων εὐθύνεται, οὔτε παρ' ἀδίκοις δικάζεται.

Ὥσπερ τὸ εὐθὺ εὐθέος οὐ δεῖται, οὕτως οὐδὲ τὸ δίκαιον δικαίου.

Μὴ πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρὶν αὐτὸς παρὰ τῇ δίκῃ κριθῇς.

Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίγνωσκε, ἀλλ' αὐτὴν τὴν δίκην. ἥκιστα πταίσεις ἐν ταῖς κρίσεσιν, ἐὰν αὐτὸς ἐν τῷ βίῳ ἄπταιστος διατελῇς.

λοῦς. Ἄμεινον δικαίως κρίνοντα πρὸς τοῦ καταδικασθέντος ἀξίως μεμφθῆναι, ἢ ἀδίκως κρίνοντα πρὸς τῆς φύσει δικαίως ψέγεσθαι. Καθάπερ ἡ τὸν χρυσὸν δοκιμάζουσα λίθος, οὐκ ἔτι καὶ αὐτὴ πρὸς τοῦ χρυσοῦ δοκιμάζεται, οὕτω καὶ ὁ τὸ κριτήριον ἔχων. Αἰσχρὸν τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι. Καθάπερ ὀρθοῦ οὐδὲν ὀρθότερον, οὕτως οὐδὲ δικαίου οὐδὲν δικαιότερον.

Ὥσπερ ἐπὶ τῶν λιμένων πυρσοὶ, δι' ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα ταῖς ἀλωμένοις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν· οὕτω ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένῃ, αὐτὸς ὀλίγοις ἀρκούμενος, μεγάλα τοὺς πολίτας εὐεργετεῖ.

Διὰ τοῦτο ἐπαινεῖν Ἀγριππῖνον δίκαιον, ὅτι πλείστου ἄξιος ἀνὴρ γενόμενος, οὐδεπώποτε ἐπήνεσεν ἑαυτὸν, ἀλλ' εἰ καὶ ἄλλος τις αὐτὸν ἐπῄνει, ἠρυθρία· οὗτος δ' ἔφη ἀνὴρ τοιοῦτος ἦν, ὥστε τοῦ συμβαίνοντος ἀεὶ ἑαυτῷ δυσκόλου, ἔπαινον γράφειν· εἰ μὲν πυρέττοι, πυρετοῦ, εἰ δὲ ἀδοξοῖ, ἀδοξίας, εἰ δὲ φύγοι, φυγῆς. καί ποτε μέλλοντι ἔφη αὐτῷ ἀριστήσειν, ἐπέστησεν ὁ λέγων, ὅτι φεύγειν αὐτὸν κελεύει Νέρων. καὶ ὃς ἔφη, οὐκοῦν ἐν Ἀρικίᾳ ἀριστήσομεν. Ἐν Ῥώμῃ αἱ γυναῖκες μετὰ χεῖρας ἔχουσι τὴν Πλάτωνος πολιτείαν, ὅτι κοινὰς ἀξιοῖ εἶναι τὰς γυναῖκας. τοῖς γὰρ ῥήμασι προσέχουσι τὸν νοῦν, οὐ τῇ διανοίᾳ τἀνδρός· ὅτι οὐ γαμεῖν κελεύων καὶ συνοικεῖν ἕνα μιᾷ, εἶτα κοινὰς εἶναι βούλεται τὰς γυναῖκας, ἀλλ' ἐξαιρῶν τὸν τοιοῦτον γάμον, καὶ ἄλλο τι εἶδος γάμου εἰσφέρων. καὶ τὸ ὅλον οἱ ἄνθρωποι χαίρουσιν, ἀπολογίας τοῖς ἑαυτῶν ἁμαρτήμασι πορίζοντες. ἐπεὶ ἡ φιλοσοφία φησὶν, ὅτι οὐδὲ τὸν δάκτυλον ἐκτείνειν εἰκῆ προσήκει.

Τῶν ἡδέων τὰ σπανιώτατα γιγνόμενα τέρπει.

Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίγνοιντο.

Αῤῥιανὸς